# 4 ΜΑΡΤΙΟΥ 2023

## +Σάββατον Α΄ ἑβδομάδος τῶν Νηστειῶν.

## + Μνήμη τοῦ διά τῶν κολλύβων θαύματος τοῦ ῾Αγίου καί ἐνδόξου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος.




### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὸν Ἑξάψαλμον,...**

**Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις**

***Ὅτι πρέπει σοι πᾶσα δόξα...***

**Ἦχος δ'**

**ὁ α' χορὸς**

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**ὁ β' χορὸς**

**Στίχ, Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ,. ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**ὁ α' χορὸς**

**Στίχ, Π**άντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**ὁ β' χορὸς**

**Στίχ, Π**αρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**ὁ α' χορὸς**

**Ἀπολυτίκιον -Ἦχος δ' -**

**Μ**εγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο, πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**ὁ β' χορὸς**

**Δόξα Πατρὶ...Ἀπολυτίκιον Ἦχος β'**

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο, πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**ὁ α' χορός**

**Καὶ νῦν... Θεοτοκίον ὁ αὐτὸς**

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ Θεοτόκε Μυστήρια, τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε, **σωθῆναι τὰς ψυχὰς ἡμῶν.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

***Ὅτι σὸν τὸ κράτος...***

**Μετὰ τὴν α' Στιχολογίαν**

**Καθίσματα Μαρτυρικὰ**

**ὁ α' χορός**

**Ἦχος . δ'**

**Ταχὺ προκατάλαβε**

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**ὁ β' χορὸς**

**Στίχ.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ· εὐλογητὸς ὁ Θεός.

**Αὐτόμελον**

Τῶν ἐν ὅλω τῷ Κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεός, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**ὁ α' χορός**

**Στίχ.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωμεν ὁ Κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

**Ταχὺ προκατάλαβε**

Σταυρὸν ὁπλισάμενοι οἱ Ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα, τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες, διδοῦσι τὰς ἰάσεις τοῖς ἐν πίστει αἰτοῦσιν. Αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὸν Κόσμον σου.

**ὁ β' χορὸς**

**Δόξα... Καὶ νῦν ... Θεοτοκίον Αὐτόμελον**

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει

σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

**Μετὰ τὴν β' Στιχολογίαν**

**ὁ α' χορὸς**

**Καθίσματα τοῦ ἁγίου Θεοδώρου**

**Ἦχος γ' Θείας πίστεως**

Ζέων πίστεως ὀρθοδοξίᾳ, πλάνην ἔσβεσας κακοδοξίας, καταργήσας τῶν εἰδώλων τὸ ἄθεον, καὶ ὁλοκαύτωμα θεῖον γενόμενος, θαυματουργίαις δροσίζεις τὰ πέρατα. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**ὁ β' χορὸς**

**Δόξα Πατρί... Ὅμοιον**

Θεῖον δῶρόν σε πρὸς σωτηρίαν, πάσῃ δέδωκε τῇ οἰκουμένῃ, ὁ ἐν τοῖς ἄθλοις δυναμώσας σε Κύριος, τὰς ψυχικὰς ἡμῶν νόσους ἰώμενος, καὶ τῶν σωμάτων τὰ πάθη τροπούμενος. Μάρτυς Θεόδωρε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**ὁ α' χορὸς**

**Καὶ νῦν... Θεοτοκίον**

Ἡ τὸν ἀχώρητον, Θεὸν ἐν μήτρᾳ σου, Παρθένε ἄχραντε, κυοφορήσασα, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς ἀῤῥεύστως ἀνατείλαντα, Λόγον ἐνυπόστατον, καὶ Υἱὸν ὁμοούσιον, τοῦτον ἐκδυσώπησον, σὺν Προφήταις καὶ Μάρτυσιν. Ὁσίοις, Ἀσκηταῖς, καὶ Δικαίοις, **δοῦναι ἡμῖν λύσιν πλημμελημάτων.**

**Ὁ Ν' ψαλμὸς χύμα**

## Ὠδὴ α', τοῦ Ὁσίου

## Ἦχος δ'

## Ὁ Εἱρμὸς

Ἄσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαὸν δουλείας Αἰγυπτίων, ἐκάλυψας δὲ ἅρματα, Φαραὼ καὶ τὴν δύναμιν.

**ὁ β' χορός**

Ἄσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαὸν δουλείας Αἰγυπτίων, ἐκάλυψας δὲ ἅρματα, Φαραὼ καὶ τὴν δύναμιν.

**ὁ α' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Ὅπλον κατὰ πάσης τῆς μεθοδείας, τοῦ ἀλλοτρίου κραταιόν, την νηστείαν ἔχοντες, γενναίως πατήσωμεν, τὰ τούτου μηχανήματα.

**ὁ β' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Ἐλλάμψει τοῦ Πνεύματος θεοφόρε, καταυγασθείς, τὰ νοητὰ τῆς ψυχῆς σου ὄμματα, πρὸς φῶς ἐνητένισας, δι' ἀρετῆς τὸ ἄδυτον.

**ὁ α' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Τῶν παρόντων Πάτερ δι' ἀκτησίας, τὸ γεηρὸν ἀποβαλὼν ἄχθος ὡς ἀσώματος, Γεράσιμε ἤνυσας, τὸν δρόμον τῆς ἀσκήσεως.

**ὁ β’ χορός**

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.**Θεοτοκίον**

Γῆθεν πρὸς οὐράνιον πολιτείαν, ἡμᾶς ἀνείλκυσεν Ἁγνή, ὁ ἄχραντος τόκος σου, νηστείας ταῖς πτέρυξιν, εἰς οὐρανοὺς ἀναγαγὼν ἡμᾶς.

## ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΔΩΡΟΥ

**ᾠδὴ α’ Ἦχος δ’**

**Ἀνοίξω τὸ στόμα μου**

**ὁ α’ χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ πάντων ἐπέκεινα, σὲ τὴν ἀῤῥήτως γεννήσασαν, ἁπάντων προέθηκε, τῶν ἑαυτοῦ ἐκλεκτῶν, ὅθεν σήμερον, τὸν τούτου στεφανίτην, ὑμνοῦντες Πανύμνητε, σοὶ προεξάρχομεν.

**ὁ β’ χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ πάντων ἐπέκεινα,**…**

**ὁ α’ χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν μέγαν ἐν Μάρτυσι, τὸν ἀθλητὴν τὸν ὑπέρλαμπρον, τὸν ὀνομαστότατον, καὶ περιβόητον, τὸν ἐν θαύμασιν, ἀπ ἄκρων γῆς εἰς ἄκρα, ἐπίσημον ᾄσματι, μέλψω Θεόδωρον.

**ὁ β’ χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡμέρα εὐφρόσυνος, ἐν ταῖς πενθίμοις ἀνέτειλε, καὶ τὴν σκυθρωπότητα, τούτων ἐφαίδρυνε, προεόρτια, προοίμια μακρόθεν, ἐκλάμψασα χάριτι, τοῦ θείου Μάρτυρος.

**ὁ α’ χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥαντίζει καθάρσια, τὴν Ἐκκλησίαν τοῖς αἵμασι, τὸ ἅγιον σφάγιον, ὃ προσελάβετο, ὁ τεθυμένος, καὶ θῦμα δεδεγμένος, τὸν ὑπεραθλήσαντα, τῆς θείας δόξης αὐτοῦ.

**ὁ α’ χορός**

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.**Θεοτοκίον**

Ὡραῖον κἂν ἄωρον, τὸ ἑορτάζειν νενόμισται, ἡ γὰρ ὡραΐσασα, τὰ πάντα Δέσποινα, καὶ νῦν ἔδειξε, τῆς μνήμης κοινωνοῦσα, τῷ προκινδυνεύοντι ταύτης δι' αἵματος.

**Ἕτερος Κανὼν**

**ᾠδὴ α' Ἦχος πλ. β'**

**ὁ α’ χορός**

**Ὡς ἐν ἠπείρῳ**

**Στίχ. Ἅ**για τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ὁ** θαυμαστὸς ἐν Ἁγίοις ὄντως Θεός, ἐν ἐμοὶ θαυμάστωσαν, τὰ ἐλέη σου Χριστέ, λόγον μοι δωρούμενος, ὡς ἄν, τὰ θαυμάσια τοῦ σοῦ, αἰνέσω Μάρτυρος.

**ὁ β’ χορός**

**Στίχ. Ἅ**για τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ὸ σταθερὸν ἐν τοῖς ἄθλοις καὶ καρτερόν, ἐν τοῖς πόνοις ἔδειξας, Ἀθλοφόρε τοῦ Χριστοῦ, τὸ ταχὺ δὲ πάλιν ἐφ' ἡμᾶς, βοηθείας φανερῶν, τῆς σῆς Θεόδωρε.

**ὁ α’ χορός**

**Δόξα Πατρὶ...**

**Τ**ὴν εὐσεβῆ τῶν Πατέρων πίστιν ψυχῆς, τῆς αὐτοῦ ὁ τύραννος, ἀπωσάμενος κακῶς, ἀσεβῆ ἠθέλησε βουλήν, τῷ Θεῷ προσκεκρουκώς, ἀεὶ πορεύεσθαι.

**ὁ β’ χορός**

**Καὶ νῦν...** Θεοτοκίον

**Θ**εορρῆμόνων προρρήσεις πάλαι ἀνδρῶν, ἐπὶ σοὶ πεπλήρωνται, Μητροπάρθενε σαφῶς, ὡς Θεὸν τεκοῦσαν ἀληθῆ, καὶ Θεὸν ἀληθινόν, ὑπερφυῶς καὶ φρικτῶς.

## Ὠδὴ γ', τοῦ Ὁσίου
## Ἦχος δ' Ὁ Εἱρμὸς

**ὁ α’ χορός**

**Ἐ**ν Κυρίῳ Θεῷ μου, ἐστερεώθη ἡ καρδία μου· διὸ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν.

**ὁ β’ χορός**

**Ἐ**ν Κυρίῳ Θεῷ μου, ἐστερεώθη ἡ καρδία μου· διὸ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν.

**ὁ α’ χορός**

**Στίχ. Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

**Τ**ῶν παθῶν τὰ θηρία, διὰ νηστείας ἀποκτείναντες, Χριστῷ δι' ἀπαθείας, καὶ καθαρότητος ἐγγίσωμεν.

**ὁ β’ χορός**

**Στίχ. Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

**Π**ρὸς τὸν ἄϋλον πόθον, τὸν τοῦ Κυρίου, Πάτερ Ὅσιε, ἀεὶ ἐνατενίζων, ὕλης προσκαίρου κατεφρόνησας.

**ὁ α’ χορός**

**Στίχ. Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Τὸν Χριστὸν ἐν τῇ γλώσσῃ, ἔχων ἀεὶ Πάτερ Γεράσιμε, τὸ ἀληθὲς τῶν λόγων, διεβεβαίου ἐν τοῖς θαύμασι.

**ὁ α' χορός**

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.**Θεοτοκίον**

Ἐν νηστείαις καὶ πόνοις, τὸ ἀσθενὲς ἡμῶν τῆς φύσεως, ῥωννύουσα Παρθένε, κατὰ παθῶν τοῦτο ἐνίσχυσον.

**ᾨδὴ γ' - Ὁ Εἱρμὸς**

**Τοὺς σοὺς ὑμνολόγους**

**ὁ α' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νικᾷ πᾶσι τρόποις τὰ βελτίω, ὁ μέγιστος γὰρ ἐν ἀθληταῖς, εἰς εὐφροσύνην ἤμειψε, τὴν τοῦ καιροῦ κατήφειαν, τῆς εὐαγοῦς τὸ σύντονον, νηστείας τρέψας εἰς ἄνεσιν.

**ὁ β' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νικᾷ πᾶσι τρόποις τὰ βελτίω, ὁ μέγιστος γὰρ ἐν ἀθληταῖς, εἰς εὐφροσύνην ἤμειψε, τὴν τοῦ καιροῦ κατήφειαν, τῆς εὐαγοῦς τὸ σύντονον, νηστείας τρέψας εἰς ἄνεσιν.

**ὁ α' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οἰκεῖον καὶ πρέπον σοι τὸ δῶρον, καὶ γὰρ ἐξ οἰκείων Ἀθλητά, οὓς γὰρ αὐτὸς κατῴκισας, ἐν ταύτῃ τῇ μερίδι σου, περιχαρῶς τὰ δῶρά σοι, τὰ τῶν ἐπαίνων προσάγομεν.

**ὁ β' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Καλλίστην κρηπῖδα κατεβάλου, ταῖς σαῖς ἀριστείαις Ἀριστεῦ, τὸν θῆρα τὸν ὀλέθριον, τὸν πῦρ καὶ φόνον πνέοντα, καταβαλὼν ὡς πάρεργον, ὑπερφυοῦς γενναιότητος.

**ὁ α' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λυττήσας ὁ νέος ἀποστάτης, κατ' ἴσον δεινῶς τῷ παλαιῷ, καθάρματα τοῖς βρώμασιν, ὥσπερ ἰῷ συνέφυρεν, ἀλλὰ ψευσθεὶς ὁ δείλαιος, κατεσοφίσθη τῷ Μάρτυρι.

**ὁ β' χορός**

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. **Θεοτοκίον**

Ἐπλήσθην μὲν σύμπασα Παρθένε, τοῦ γνῶναι τὸν Κύριον ἡ γῆ, ἐκ σοῦ τῷ Κόσμῳ φάναντα΄ ἀλλὰ τοῖς θείοις Μάρτυσι, χάρις πολλὴ κρατύνασι, δι' ἑαυτῶν τὴν ἀλήθειαν.

**Εἱρμὸς ἄλλος**

**ὁ α' χορός**

**Οὐκ ἔστιν Ἅγιος**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ πρὶν τῆς Εὔας τοῖς ὠσί, ψιθυρίσας δολίως, τὸν Ἀδὰμ δι' αὐτῆς δέ, ἀπατήσας δολερῶς, αὐτὸς καὶ νῦν τὸν ἰόν, τῆς κακίας πρὸς ἀπάτην κέχυκε.

**ὁ β' χορός**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν δόλον εἶχε κατ' αὐτοῦ, ἔτρεφε τὴν μανίαν, κατὰ τῶν εὐθηνούντων, καιρὸν ἐζήτει εὐθῆ, καθ' ὃν τὸ μῖσος τελεῖν, ἐμελέτα, ὁ παρανομώτατος.

**ὁ α' χορός**

**Δόξα Πατρὶ...**

Τῶν ἡμερῶν ἡ ἀπαρχή, τῶν ἁγίων ἐπέστη Νηστειῶν, ἐν αἷς ἅπας, Χριστιανὸς ἑαυτόν, δι' ἐγκρατείας πολλῆς, ἐκκαθαίρει, πάντων ἀπεχόμενος.

**ὁ β' χορός**

**Καὶ νῦν... Θεοτοκίον**

Ἐλπὶς τοῦ Κόσμου κραταιά, σκέπη καὶ προστασία, Παναγία Παρθένε, μὴ παρίδῃς ἀγαθὴ τὴν δέησιν οἰκετῶν, τῶν ἐκ πόθου, **σὲ μακαριζόντων ἀεί.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

***Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...***

**Κάθισμα Ἦχος πλ. δ' - Τὴν σοφίαν καὶ Λόγον**

Θεϊκὴν παντευχίαν ἀναλαβών, καὶ εἰδώλων τὴν πλάνην καταβαλών, Ἀγγέλους διήγειρας, εὐφημεῖν τοὺς ἀγῶνάς σου, τῷ γὰρ θείῳ πόθῳ, τὸν νοῦν πυρπολούμενος, τοῦ ἐν πυρὶ θανάτου, στεῤῥῶς κατεφρόνησας, ὅθεν φερωνύμως, τοῖς αἰτοῦσί σε νέμεις, τὰ θεῖα δωρήματα, ἰαμάτων χαρίσματα. Ἀθλοφόρε Θεόδωρε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Δόξα Πατρί... Ὅμοιον**

Μαξιμίνου θωπείαις μὴ ἐκλυθείς, τοῦ Χριστοῦ δὲ τοῖς λόγοις ἀνδρειωθείς, εἰδώλων τὰ τεμένη, ἐν πυρὶ ἀπετέφρωσας, ἀθλητικῶς νικήσας, καλῶς τὸν ἀντίπαλον, προφητικῶς διῆλθες, τὸ πῦρ ὡς ἐν ὕδατι, ὅθεν ἐπαξίως, ἀμοιβὴν τῶν ἀγώνων, πηγάζεις ἰάματα, τοῖς αἰτοῦσιν ἐκ πίστεως. Ἀθλοφόρε Θεόδωρε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν... Θεοτοκίον Ὅμοιον**

Ὡς πανάμωμος Νύμφη τοῦ Ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ Λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Ὑψίστου Πανύμνητε ἀνομιῶν μὲ ὄντα, αἰσχρὸν καταγώγιον καὶ ἐν γνώσει γενόμενον, τοῖς δαίμοσι παίγνιον, σπεῦσον καὶ τῆς τούτων, κακουργίας μὲ ῥῦσαι, λαμπρὸν οἰκητήριον, δι' ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε, δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω λαμπρότητος ἀξίωσον, καὶ ἀκιβδήλου αἴγλης, φωτὸς ἀνεσπέρου σου.

## Ὠδὴ δ', τοῦ Ὁσίου
## Ἦχος δ' Ὁ Εἱρμὸς

**Τ**ῆς σῆς ἐπὶ τῆς γῆς παρουσίας, Χριστὲ ὁ Θεός, προμηνύων ὁ προφήτης τὴν ἔλευσιν, μετὰ χαρᾶς ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

**Στίχ.** **Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ῆς σῆς ἐν τοῖς βροτοῖς εὐσπλαγχνίας, Χριστὲ ὁ Θεός, δεῖγμα παρέσχου τὸν καιρὸν τῆς ἐγκρατείας Σωτήρ, δι' οὗ ψυχὰς καὶ σώματα καθαίρεις, καὶ ἁγιάζεις τῶν δούλων σου.

**Στίχ.** **Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ῶν ἀρετῶν τὴν κλίμακα ἀνύσας Σοφέ, μυστικωτέρας θεωρίας, ἠξίωσαι· διὸ καὶ χάριν εἴληφας ὁρᾶν, καὶ πρὸ καιροῦ τὰ ἐσόμενα.

**Στίχ.** **Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ἱ**δρῶσι τῶν ἀγώνων σου τῶν ἐνθέων, τὴν ἄγονον κατήρδευσας ἔρημον, καὶ καρποφόρον ἔδειξας, ἀνθρώπους τῷ Χριστῷ συγκομίζουσαν.

**Στίχ.** **Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς. **Θεοτοκίον**

**Ὡ**ς στήριγμα Πιστῶν δεδομένη, Παρθένε ἁγνή, παρὰ Χριστοῦ τοῦ σὲ δοξάσαντος, δύναμιν ἐν τῷ καιρῷ περίζωσον, ἡμᾶς τῆς ἐγκρατείας ὑμνοῦντάς

## ᾠδὴ δ'
## Ὁ καθήμενος ἐν δόξῃ,

**Στίχ.** **Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ὢ** καινῆς καὶ παραδόξου, μίξεώς τε, καὶ κράσεως! παρθενία τόκον, ἥνωσε τεχθεὶς ὁ θεάνθρωπος, ταῖς σκυθρωπαῖς δὲ ἡμέραις, τὴν εὐφρόσυνον, τὸν οἰκεῖον τιμῶν, Ἀθλητὴν ἐγκατέμιξεν.

**Στίχ.** **Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ἴ**δε πῶς Χριστὸν ἐφίλει, ὁ Χριστῷ στρατευόμενος, τοὺς ἐχθροὺς γὰρ τούτου, ζήλῳ καὶ πυρὶ κατηνάλωσε, καὶ ἑαυτὸν τελευταῖον καλλιέργημα, καὶ δεκτὸν αὐτῷ θῦμα, προθύμως ἀπέδωκε.

**Στίχ.** **Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ν**ικηφόρος ἐκ τῶν ἄθλων, ὁ Γεννάδας ἀνέλυσε, παῤῥησίᾳ λόγων, καὶ ὑπεροψίᾳ κολάσεων, τοὺς θεατὰς καταπλήξας, καὶ γενόμενος, πάσῃ κτίσει καινόν, καὶ παράδοξον θέατρον.

**Στίχ.** **Ἅ**γιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ὀ**στοῦν μὲν οὐ συνετρίβη, τοῦ Θεοῦ καὶ Δεσπότου μου, ὢ μακροθυμίας! καὶ μετὰ τὴν νέκρωσιν πάσχοντος, τὸν δὲ αὐτοῦ Στρατιώτην πῦρ δεξάμενον, καὶ τροχὸς ηὐλαβήθη, θανόντος προσάψασθαι.

**Στίχ.** **Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς. **Θεοτοκίον**

**Σ**υνθανόντες τῷ Δεσπότῃ, τῆς ζωῆς οἱ θεράποντες, καὶ συναναστάντες, ζῶσι παρ' αὐτῷ νῦν αἰώνια, καὶ τῷ Υἱῷ τὴν Μητέρα συνδοξάζουσιν, εὐλογοῦντες Πατέρα, Υἱόν, Πνεῦμα ἅγιον.

## Ἄλλος

**Χριστός μου δύναμις**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Β**ουλὴν βουλεύεται, ὁ ἀσεβέστατος, καὶ σκοπεῖται, ὡς ὄντως ἐστὶ φρικτή, ἔγνω γὰρ ὁ δείλαιος, διὰ βρωμάτων μιαρῶν, τὸν λαὸν καταμολύνειν Χριστοῦ.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ε**ἰς ἔργον ἤνεγκε, βουλὴν τὴν ἄθεσμον, συσταλῆναι προστάξας τῶν καθαρῶν, ἐδεσμάτων ἔνθεσιν, καὶ προτεθῆναι ἃ αὐτός, κατεμόλυνε τοῖς αἵμασι.

**Δόξα Πατρὶ...**

**Γ**έγονεν ἔκπυστον, καὶ διαβόητον, τὸ ἀνόμημα πᾶσι Χριστιανοῖς, ὅθεν ὡς ἐπέγνωσε, καὶ συνδρομὴ πάντων ὁμοῦ, εἰς Ναὸν Κυρίου ἅγιον.

**Καὶ νῦν...**

**Τ**ὴν σὲ Κυήσασαν, τὸν προαιώνιον, ἐκ Πατρὸς γεννηθέντα νῦν οἱ πιστοί, πρέσβιν προβαλλόμεθα, ταύτης δεήσεσι καμφθείς, εὐμενὴς γενοῦ τοῖς δούλοις σου.

**Ὠδὴ ε', τοῦ Ὁσίου**

**Ἦχος δ'**

**Ὁ Εἱρμὸς**

**Ὁ** ἀνατείλας τὸ φῶς, καὶ φωτίσας τὸν ὄρθρον, καὶ δείξας τὴν ἡμέραν, δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ῆς χαμαιζήλου ἡμᾶς, προσπαθείας οἰκτίρμον, νηστείᾳ, ἀφαρπάσας, πρὸς τὸ ὕψος ἕλκυσον, Ἰησοῦ τῆς σῆς ἀγαπήσεως.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ῶν προσευχῶν ταῖς προσβολαῖς, παρατάξεις δαιμόνων, κατέτρωσας γενναίως, καὶ Χριστὸν Γεράσιμε, σὺ ἀνύμνεις Υἱὸν τοῦ Θεοῦ.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ὴν τῶν παθῶν διασχών, θεοφόρε ὁμίχλην, φωτὶ τῷ τῆς ἁγνείας, καὶ τῆς καθαρότητος, νοητῶς ἐπλησίασας.

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. **Θεοτοκίον**

**Ῥ**ύπου ἡμᾶς νοητοῦ, διὰ τῆς ἐγκρατείας, ἐκπλύνασα Παρθένε, καθαροὺς παράστησον, δοξολογεῖν τὸν Υἱὸν τοῦ Θεοῦ.

**ᾠδὴ ε'**

**Ἐξέστη τὰ σύμπαντα,**

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

**Ἀ**νοίγεται σήμερον, τὰ πρόθυρα τῆς χάριτος, καὶ ἡ καταπαύσιμος νῦν αὕτη, προεικονίζει τὴν ἀναστάσιμον, οὕτω λαμπροφόρος τὴν λαμπράν, Δέσποιναν γεραίρουσα, καὶ τὸν ἔνδοξον Μάρτυρα.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δωρεῖται φερώνυμον, δῶρον Θεὸς Θεόδωρον τοῖς ἠγαπηκόσι τοῦ φανέντος, ἠγαπημένου τὴν ἐπιφάνειαν, παραδόξων ἔργων ποιητὴν θείων τε δυνάμεων, αὐτουργὸν ἐργασάμενον.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐδὲν πρὸς τὸν Μάρτυρα, τὰ τόξα καὶ τὰ βέλη σου, ἐχθρὲ τῆς ἀνθρώπων σωτηρίας, καὶ τεθνηκώς γάρ, ζῇ καὶ ἐγρήγορε, καὶ τοῖς κακουργήμασι τοῖς σοῖς, ἀντικαθιστάμενος, σώζει πάντα ὀρθόδοξον.

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. **Θεοτοκίον**

Ξενίζον ἦν πρότερον, τὸ θαῦμα τῆς θεόπαιδος, ταῖς τῶν Ἀθλητῶν δὲ μαρτυρίαις, εἴληφε πίστιν, τὴν ἀναμφίβολον, καὶ τὸ πιστευόμενον ἀεί, μένει θαυμαζόμενον, καὶ πιστῶς προσκυνούμενον.

## Ἄλλος

## Τῷ θείῳ φέγγει σου Ἀγαθὲ

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τότε τοίνυν Ἀρχιερεὺς ὅλος θαμβηθεὶς τοῦ ἀσεβοῦς, ὡς ἔγνω τὸ διαβούλιον, ὕμνοις ἐν παννύχοις Θεὸν ἱκέτευε, μὴ παριδεῖν εἰς τέλος, λαὸν τὸν κλῆρον αὐτοῦ.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀλλ' ὁ ταχὺς ὄντως βοηθός, τῶν ἐν ἀληθείᾳ καὶ θερμῇ, προσκαλουμένων δεήσει αὐτόν, οὐ παρεῖδεν ὅλως, ἀλλὰ ταχίστην αὐτοῖς ἐργάζεται τὴν λύσιν τοῦ ἐγχειρήματος.

**Δόξα Πατρὶ...**

Ἐκ τῶν ὑψίστων ὁ βοηθός, πέμπεται ὡς τάχιστα πρὸς γῆν, ὁ ἀθλοφόρος Θεόδωρος, καὶ τῷ Ἀρχιποίμενι ἐποπτάνεται, τὴν λύσιν ἐκδιδάσκων, τῆς παρανόμου βουλῆς.

**Καὶ νῦν... Θεοτοκίον**

Οὐδεὶς προστρέχων ἐπὶ τὴν σήν, Δέσποινα ἀντίληψιν θερμῶς, καταισχυνθήσεται πώποτε, ἀλλ' αἰτεῖται χάριν, καὶ δῶρον δέχεται, πρὸς τὸ συμφέρον θᾶττον, τῆς ἐξαιτήσεως.

## ᾨδὴ ς', τοῦ Ὁσίου

## Ἦχος δ' Ὁ Εἱρμὸς

Ὡς Ἰωνᾶν τὸν Προφήτην, ἐλυτρώσω τοῦ κήτους Χριστὲ ὁ Θεός, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων, ἀνάγαγε, καὶ σῶσόν με μόνε φιλάνθρωπε.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς ἐγκρατείας τῇ αἴγλῃ, ἐλλαμφθέντας ἡμᾶς καταξίωσον, ἰδεῖν τῆς ἐγέρσεως Σῶτερ, τῆς σῆς τὴν θείαν δόξαν καὶ τὴν λαμπρότητα.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἑωσφόρος ἐκλάμψας, ἐν τῷ σκότει τοῦ βίου Γεράσιμε, ἀνθρώπους εἰς φῶς πολιτείας, Ἀγγέλων ἀσωμάτων ἐχειραγώγησας.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ εὐχῶν βακτηρίᾳ, κεφαλὰς νοουμένων συνέθλασας, θηρῶν παναοίδιμε Πάτερ, καὶ θήρας τῆς ἐκείνων ἀνθρώπους διέσωσας.

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. **Θεοτοκίον**

Γνόντες τῶν πάντων Δεσπότην, διὰ σοῦ Θεοτόκε, ἐρρύσθημεν πλάνης τῶν εἰδώλων, καὶ πόθῳ, κυρίως σε Μητέρα Θεοῦ δοξάζομεν.

## ᾠδὴ Ϛ'

### Τὴν θεῖαν ταύτην

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νηστεύειν Σῶτερ οὐ δύνανται, οἱ φίλοι καὶ υἱοὶ τοῦ νυμφῶνός σου, σὲ τὸν Νυμφίον γάρ, σὺν τῇ Μητρὶ καὶ τῷ φίλῳ σου, ξενίζουσι παρόντα, καὶ θεραπεύουσιν.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπέστη Θεοῦ τοῦ σώζοντος, ἀπέστη καὶ φρενῶν ὁ δυσώνυμος, καὶ πρὸς ἀπόνοιαν, κατεξανέστη τῆς πίστεως, ἀλλ' ἀντὶ ταύτης εὗρε, τὸν μεγαλώνυμον.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παθῶν κατέστη σοφώτερος, καὶ δράσας ὁ γενναῖος θερμότερος, τὴν πρὸς τυράννους γάρ, πάλην καὶ νίκην καλῶς ἀσκηθείς, οὐδὲ θανὼν ἀπέστη, τοῦ κατορθώματος.

**Στίχ.** Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. **Θεοτοκίον**

Ῥυσθέντες σήμερον Δέσποινα, κινδύνου ψυχοφθόρου τῷ θαύματι, τοῦ Ἀθλοφόρου σου, κατὰ τὴν σὴν θείαν πρόνοιαν, τὴν χάριν ἀμφοτέροις, ἀντιτιθέαμεν.

### Ἄλλος

### Τοῦ βίου τὴν θάλασσαν

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν ξένον θαμβούμενος, τῆς ὁράσεως τῆς σῆς, Ἀρχιερεὺς ἀντέφησε. Σὺ τὶς εἶ Κύριε, ὁ λαλὼν ἐμοὶ; γνώρισον καὶ δίδαξον, πῶς εὑρήσωμεν θᾶττον τὴν βοήθειαν.

**Στίχ.** Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θεόδωρος ἔφησεν΄ Ἐγὼ πέφυκα σαφῶς, ὁ ἀθλητὴς καὶ ἄκουσον΄ Σῖτον ἑψήσας, μέρισον τοῖς λαοῖς, καὶ οὕτω σωθήσεσθε, κεχραμένων βρωμάτων τοῦ ἀλάστορος.

**Δόξα Πατρὶ...**

Ὢς μέγα τὸ θαῦμά σου, καὶ παράδοξος ἡ σή, ἀντίληψις Θεόδωρε! διὸ θαῤῥοῦντες πάντες εἰλικρινῶς, πρὸς σὲ καταφεύγομεν, καὶ δεόμεθα΄ Σῶσον τοὺς οἰκέτας σου.

**Καὶ νῦν... Θεοτοκίον**

Φωτὸς οἰκητήριον, καὶ δοχεῖον καθαρόν, τοῦ Λόγου ἐχρημάτισας, Πατρὸς τῇ εὐδοκίᾳ, καὶ τῇ ἐν σοί, ἐπισκέψει Πνεύματος, τοῦ ἁγίου, **διό με φωταγώγησον.**

## Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

## Κοντάκιον Αὐτόμελον

## Ἦχος πλ. δ'

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας Πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως, **ὡς ἀήττητος.**

## Ὁ Οἶκος

Τὸν ἐν θρόνῳ φωτὸς ἐποχούμενον, εὐχαρίστως ἐν πίστει ὑμνοῦμέν σε, ὅτι δώρημα θεῖον δεδώρησαι, τὸν γενναῖον τοῖς ἄθλοις Θεόδωρον, τὸν ἐν τῷ βίῳ τρισμακάριστον, ὡς ὑπέρμαχον ὄντα τῆς ἀληθείας, εὐσεβεῖ λογισμῷ κεκτημένος Χριστόν, ἀνεδείχθη κραταιὸς νικητὴς κατὰ τοῦ δολεροῦ**, ὡς ἀήττητος.**

## Συναξάριον

Τῇ **Δ'** τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ.

## Στίχοι

- Ὑπηρέτης θὴρ τῷ Γερασίμῳ γέρας,
- Θῆρας παθῶν κτείναντι πρὶν λῆξαι βίου.
- Τῇ δὲ τετάρτῃ Γεράσιμος βιότοιο ἀπέπτη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Παύλου καὶ Ἰουλιανῆς τῆς αὐτοῦ ἀδελφῆς.

## Στίχοι

- Ὁ κείμενος μὲν Παῦλος, ἡ δὲ κειμένη
- Ἰουλιανή, σύγγονοι τετμημένοι.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἀνωτέρω, Κοδρᾶτος, Ἀκάκιος καὶ Στρατόνικος οἱ ἀπὸ δημίων, ξίφει τελειοῦνται.

## Στίχοι

- Τρεῖς ἐκχέαντες αἷμα πολλῶν ὡς ὕδωρ,
- Σοφῶν αἷμα, Χριστὲ σοὶ χέουσιν ἐκ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Γρηγόριος Κύπρου, ἐν εἰρήνῃ τελειοῦται.

## Στίχοι

- Ἔλαφος ὥσπερ ἐκ βρόχου ῥυσθεὶς βίου,
- Ἄνεισι Γρηγόριος, ἔνθα ζῶν ὕδωρ.

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ τῆς πρώτης Ἑβδομάδος τῶν Νηστειῶν, τὸ διὰ τῶν Κολλύβων παράδοξον θαῦμα τοῦ ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ἑορτάζομεν.

### Στίχοι

- Τροφὴ κολλύβων, ἑστιᾷ Τήρων πόλιν,
- Τροφὴν τιθεὶς ἄπρακτον, ἠλιγισμένην.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

**ὁ α' χορός**

**Ἦχος δ'. ᾠδὴ α'**

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

**ὁ β' χορός**

**ᾠδὴ γ'**

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ_θείᾳ δόξῃ σου...

**ὁ α' χορός**

... στεφάνων δόξης ἀξίωσον.

**ὁ β' χορός**

**ᾠδὴ δ'**

Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς κραυγάζοντας, Δόξα Χριστὲ τῇ δυνάμει σου.

**ὁ α' χορός**

**ᾠδὴ ε'**

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

**ὁ β' χορός**

**ᾠδὴ ς'**

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

**ὁ α' χορός**

**ᾠδὴ ζ'**

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**ὁ β' χορός**

**ᾠδὴ η'**

**Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.**

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει

ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, **εἰς πάντας τοὺς αἰῶνας.**

***Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...***

**ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ')**

**ὁ α' χορός**

**Στίχ. Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**ὁ β' χορός**

**Στίχ. Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

**ὁ α' χορός**

**Στίχ. Ὅ**τι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

**ὁ β' χορός**

**Στίχ. Ἐ**ποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

**ὁ α' χορός**

**Στίχ. Κ**αθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν Τιμιωτέραν...

**ὁ β' χορός**

**Στίχ. Ἀ**ντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

**Καταβασία**

**ὁ α' χορός**

**ᾠδὴ θ'.**

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, **ἀειπάρθενε.**

**Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις**

***Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...***

**Ἐξαποστειλάρια**

**ὁ α' χορὸς**

## Ἦχος β’
## Τοῖς Μαθηταῖς

Στεφανηφόρος Ἅγιε, παρεστὼς σὺν Ἀγγέλοις, τῷ τοῦ Χριστοῦ νῦν Βήματι, καὶ φωτὸς τοῦ ἐκεῖθεν, πληρούμενος Ἀθλοφόρε, τὴν εἰρήνην τῷ Κόσμῳ, ἀδιαλείπτως πρέσβευε, καὶ ἡμῖν σωτηρίαν τοῖς εὐσεβῶς, τὴν φωσφόρον μνήμην σου ἐκτελοῦσι, Θεόδωρε πανόλβιε, Μάρτυς ἠγλαϊσμένε.

**ὁ β’ χορός**

## Θεοτοκίον

Ἐν τῇ γαστρί σου Κύριος, ἀπολλύμενον Κόσμον, φθορᾶς ἀνακαλέσασθαι, βουληθεὶς ὥσπερ οἶδεν, ἐσκήνωσε Θεοτόκε. Σωτηρίαν οὖν πάντες, εὑρόντες ἐκβοῶμέν σοι΄ Χαῖρε τὸ τοῦ Ἀγγέλου, πανευκλεές, γυναιξὶν ἐν πάσαις εὐλογημένῃ, καὶ γὰρ χαρὰν ἐκύησας, **πάσῃ τῇ οἰκουμένῃ.**

## ΑΙΝΟΙ
## Ἦχος α’

**ὁ α’ χορός**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**ὁ β’ χορός**

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**ὁ α’ χορός**

**Στίχ.** Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

## Τῶν οὐρανίων ταγμάτων

Τὸν ἀριστέα τῆς ἄνω, στρατολογίας πιστοί, ὡς καρτερὸν ὁπλίτην, τῆς ἡμῶν εὐσεβείας, συμφώνως συνελθόντες, ᾠδαῖς μυστικαῖς, εὐφημήσωμεν λέγοντες. Ἀξιοθαύμαστε Μάρτυς τοῦ Ἰησοῦ, εὔχου ὑπὲρ τῶν τιμώντων σε.

**ὁ β’ χορός**

**Στίχ.** Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τῇ φερωνύμῳ σου κλήσει, δῶρον Θεοῦ ἀληθῶς, τοῖς θλιβομένοις πᾶσι, θυμηδία ἐδόθης, Θεόδωρε τρισμάκαρ, πᾶς γὰρ τῷ σῷ, προσπελάζων Ναῷ ἀληθῶς, μετ' εὐφροσύνης λαμβάνων τὰς ἀμοιβάς, τῶν θαυμάτων σου γεραίρει Χριστόν.

**ὁ α’ χορός**

**Στίχ.** Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τῆς εὐσεβείας τὸν πλοῦτον, καὶ τὴν λαμπρότητα, ἀθλητικοῖς καμάτοις, σεαυτῷ θησαυρίσας, πᾶσαν τὴν ἰσχύν σου, δῶρον δεκτόν, τῷ Θεῷ

προσενήνοχας, ἀναπληρῶν ἐν τοῖς ἄθλοις μετὰ σπουδῆς, Θεοδώρητόν σου πρόσκλησιν.

**ὁ β’ χορός**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**Τ**ῇ παμφαεῖ πανηγύρει, τοῦ θείου Μάρτυρος, εὐωχηθῶμεν πάντες, καὶ πιστῶς εὐφρανθῶμεν, φιλέορτοι τιμῶντες, φαιδρὰν ἑορτήν, τῆς αὐτοῦ τελειώσεως, ᾀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν, τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

**ὁ α’ χορός**

**Δόξα Πατρί...Ἦχος πλ. β'**

**Ἁ**γιωσύνης δωρεά, καὶ πλοῦτος θείας ζωῆς, πεφανέρωσαι τῷ Κόσμῳ Θεόδωρε΄ Χριστὸς γάρ σου σοφέ, τὴν μνήμην ἐδόξασεν, ἐν ᾗ συμφώνως οἱ πιστοί, γεγηθότες ὑμνοῦμεν, τοὺς ἀγῶνας τῶν πόνων σου.

**ὁ β’ χορός**

**Καὶ νῦν... Θεοτοκίον**

**Θ**εοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα μετὰ τοῦ **Ἀθλοφόρου**, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Δοξολογία Μεγάλη

**εἰς ἦχον πλ.β’ ( Ἀργὴ ἢ σύντομος )**

- · **Δ**όξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
- · **Ὑ**μνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.
- · **Κ**ύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.
- · **Κ**ύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.
- · **Π**ρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.
- · **Ὅ**τι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.
- · **Κ**αθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
- · **Κ**αταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
- · **Ε**ὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

- · Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
- · Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
- · Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
- · Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
- · Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.
- · Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
- · Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
- · Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ**

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

**Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.**

**καὶ εὐθύς**

**τὸ Ἀπολυτίκιον**

**Ἦχος β'**

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγὴ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο, πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, **σῶσον τὰς ψυχὰς ἡμῶν.**

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΑΝΤΙΦΩΝΑ

### Ἀντίφωνον Α’

**Ἦχος β΄.**

**Στίχ. .** Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**Στίχ..** Τοῦ ἀναγγέλλειν τῷ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

**Στίχ** Ὅτι εὔφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί Σου καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν Σου ἀγαλλιάσομαι.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

**Στίχ. . Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…
**Δόξα…Καὶ νῦν…**
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

**Ἀντίφωνον Β’**
**Ἦχος πλ. α’**

**Στίχ. , Ὁ** Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.
Πρεσβείαις τῶν ἁγίων σου, σῶσον ἡμᾶς, Κύριε.
**Στίχ. , Κ**αὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθησεται.
Πρεσβείαις τῶν ἁγίων σου, σῶσον ἡμᾶς, Κύριε.
**Στίχ., Θ**αυμαστοί οἱ μετεωρισμοί τῆς θαλάσσης, θαυμαστός ἐν ὑψηλοῖς ὁ Κύριος.
Πρεσβείαις τῶν ἁγίων σου, σῶσον ἡμᾶς, Κύριε.
**Στίχ. . Τ**ά μαρτύριά σου επιστώθησαν σφόδρα τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.
Πρεσβείαις τῶν ἁγίων σου, σῶσον ἡμᾶς, Κύριε.

**Δόξα Πατρί... Καὶ νῦν καὶ ἀεὶ...**

**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας΄ Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

**Ἀντίφωνον Γ'**

**Στίχ. Θ**αυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Ἀπολυτίκιον Ἦχος β'**

**Μ**εγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο, πυρὶ γὰρ ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ**

**Εἰσοδικὸν**

( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελεῖται συλλείτουργον)
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....
...ψάλλοντάς σοι, Ἀλληλούϊα.
( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελεῖται συλλείτουργον)

**Ἀπολυτίκιον Ἦχος β'**

**Μ**εγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, ὁ Ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο, πυρὶ γὰρ

ὁλοκαυτωθείς, ὡς ἄρτος ἡδύς, τῇ Τριάδι προσήνεκται. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

**Τοῦ Ναοῦ**

**( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελεῖται συλλείτουργον)**

**Κοντάκιον Ἦχος β'**

**Π**ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, **τῶν τιμώντων σε.**

**Τρισάγιον**

**Ἀπόστολος**

**Προκείμενον ἦχος βαρὺς**

**Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

**Ε**ἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

**Πρὸς Τιμόθεον Β' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**

**(Κεφ. β΄ 1- 10)**

**Τ**έκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Συγκακοπάθησον ὡς καλὸς στρατιώτης Χριστοῦ Ἰησοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ὃ λέγω· δώσει γάρ σοι ὁ κύριος σύνεσιν ἐν πᾶσιν. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος, ἀλλὰ ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν Χριστῷ Ἰησοῦ **μετὰ δόξης αἰωνίου.**

Ἀλληλούϊα (γ')

**Εὐαγγέλιον**

## Ἐκ τοῦ κατὰ Μάρκον. (Μαρκ. β΄ 23-28).

*Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων, καὶ οἱ μαθηταὶ αὐτοῦ ἤρξαντο ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας. Καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ, Ἴδε τί ποιοῦσιν τοῖς σάββασιν ὃ οὐκ ἔξεστιν;καὶ λέγει αὐτοῖς' Οὐδέποτε ἀνέγνωτε τί ἐποίησεν Δαυῒδ, ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιαθὰρ ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ τοὺς ἱερεῖς, καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν; καὶ ἔλεγεν αὐτοῖς' Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο καὶ οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον·ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου. Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα. Καὶ παρετήρουν αὐτὸν εἰ τοῖς σάββασι θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ. Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· ἔγειρε εἰς τὸ μέσον. Καὶ λέγει αὐτοῖς· ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων. Καὶ περιβλεψάμενος αὐτοὺς μετ᾽ ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά σου. καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ* ***ὑγιὴς ὡς ἡ ἄλλη.***

Δόξα σοι, Κύριε, δόξα σοι.

***Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου***

**Εἰς τό, Ἐξαιρέτως**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, **σὲ μεγαλύνομεν.**

**Κοινωνικὸν**

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**ἦχος β'**

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων μυστηρίων Σου. στήριξον ἡμᾶς ἐν τῶ σῶ ἁγιασμῶ ὅλην τήν ἡμέραν μελετᾶν τήν δικαιοσύνην Σου. Ἀλληλουΐα, Ἀλληλουΐα, Ἀλληλουΐα.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. **(τρὶς)**

***https://agioskosmasoetolos.wordpress.com***